moueri nisi in tempore quippiam non potest voluptate autem affici potest. quod enim in ipso nunc fit, totum quoddam est. Ex his autem manifestum est, non rectè dicere eos qui voluptatem esse, motionem, vel generationem asserunt. non enim omnium hæc dicuntur: sed partibilium, & eorum quæ tota minimè sunt. nam neque visionis generatio est, neque puncti, neque vnitatis. neque enim horum quippiam motio aut generatio est. igitur nec voluptatis quoque erit.

## CAPVT IIII.

Qvippe cùm totum quoddam sit. sed sensus cuiuslibet, cùm circa sensibilem rem operatur. Perfectè autem eius qui bene est affectus circa pulcherrimum ex iis quæ sensui subiiciuntur. tale enim quid maximè esse perfecta operatio videtur. Vtrum autem ipsum sensum, an id in quo ipse est, operari dicamus, nihil intersit. in vnoquoque enim optima eius est operatio, quod optimè affectum est erga præstantissimum ex iis quæ ipsi subiiciuntur. Atque hæc perfectissima esset, ac iucundissima. In omni enim sensu voluptas est: in omni item simili modo intellectione & contemplatione. iucundissima autem ea est, quæ perfectissima: at perfectissima eius est, quod bene affectum est erga optimum eorum quæ ipsi subiiciuntur. operationem verò voluptas perficit. Non eodem tamen modo & voluptas perficit, & sensibile, & sensus, cùm bona sunt. quemadmodum neque sanitas & medicus simili modo in causa sunt, vt sani simus. In vnoquoque autem sensu voluptatem fieri perspicuum est: quippe cùm & visiones, & auditiones esse iucundas dicamus. patet enim profectò eas vel quàm maximè esse, si & sensus præstantissimus sit, & circa tale quippiam operetur. nam si huiusmodi sunt & quod sentitur, & quod sentit: semper existet voluptas, modò adsit quod agat, & quod afficiatur. Perficit autem operationem voluptas, non vt habitus quidam qui inest, sed vt finis superexoriens: perinde atque venustas iis qui in flore ætatis constituti sunt. quousque autem sensibile vel intelligibile, & id quod iudicat, vel contemplatur tale fuerit, quale esse debet: in operatione inerit voluptas. cùm enim id & quod vt afficiatur & quod vt efficiat idoneum est, similia sunt, & inter se eodem modo sese habent: idem fieri natura consueuit. Quo modo igitur fit, vt nemo assiduè voluptate afficiatur? an defatigatur? omnia enim humana ad assiduè operandum imbecillia sunt. quocirca neque voluptas assiduè euenit: operationem enim consequitur. Nonnulla tamen sunt quæ cùm noua sunt, oblectant: postea

A κινεῖσθαι μὴ ἐν χρόνῳ, ἥδεσθαι δέ· τὸ γὰρ ἐν τῷ νῦν, ὅλον τι. ἐκ τούτων δὲ δῆλον, καὶ ὅτι οὐ καλῶς λέγουσι κίνησιν ἢ γένεσιν εἶναι τὴν ἡδονήν. οὐ γὰρ πάντων ταῦτα λέγεται, ἀλλὰ τῶν μεριστῶν καὶ μὴ ὅλων· οὐδὲ γὰρ ὁράσεώς ἐστι γένεσις, οὐδὲ στιγμῆς, οὐδὲ μονάδος· οὐδὲ τούτων οὐδὲν κίνησις, οὐδὲ γένεσις· οὐδὲ δὴ ἡδονῆς· ὅλον γάρ τι.

B
## Κεφάλαιον δ.

Αἰσθήσεως δὲ πάσης πρὸς τὸ αἰσθητὸν ἐνεργούσης, τελείως δὲ τῆς εὖ διακειμένης πρὸς τὸ κάλλιστον τῶν ὑπὸ τὴν αἴσθησιν κειμένων· τοιοῦτον γὰρ μάλιστ' εἶναι δοκεῖ ἡ τελεία ἐνέργεια· αὐτὴν δὲ λέγειν ἐνεργεῖν, ἢ ἐν ᾧ ἐστι, μηδὲν διαφερέτω· καθ' ἕκαστον δὲ βελτίστη ἐστὶν ἡ ἐνέργεια, τοῦ ἄριστα διακειμένου πρὸς τὸ κράτιστον τῶν ὑφ' αὐτήν· αὕτη δ' ἂν
C τελειοτάτη εἴη καὶ ἡδίστη· κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστιν ἡδονή· ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν· ἡδίστη δὲ ἡ τελειοτάτη· τελειοτάτη δὲ, ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑφ' αὐτήν· τελειοῖ τὴν ἐνέργειαν ἡ ἡδονή· οὐ τὸν αὐτὸν δὲ τρόπον ἥ τε ἡδονὴ τελειοῖ καὶ τὸ αἰσθητόν τε καὶ ἡ αἴσθησις, σπουδαῖα ὄντα· ὥσπερ οὐδὲ ἡ ὑγίεια καὶ ὁ ἰατρὸς ὁμοίως αἴτιά ἐστι
D τοῦ ὑγιαίνειν. καθ' ἑκάστην δ' αἴσθησιν ὅτι γίνεται ἡ ἡδονὴ, δῆλον· φαμὲν γὰρ ὁράματα, καὶ ἀκούσματα εἶναι ἡδέα. δῆλον δὲ καὶ ὅτι μάλιστα, ἐπειδὰν ἥ τε αἴσθησις ᾖ κρατίστη, καὶ πρὸς τοιοῦτον ἐνεργῇ· τοιούτων δὲ ὄντων, τοῦ τε αἰσθητοῦ καὶ τοῦ αἰσθανομένου, ἀεὶ ἔσται ἡδονὴ, ὑπάρχοντός γε τοῦ ποιήσοντος καὶ τοῦ πεισομένου. τε-
E λειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονὴ, οὐχ ὡς ἡ ἕξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγινόμενόν τι τέλος, οἷον τοῖς ἀκμαίοις ἡ ὥρα· ἕως δ' οὖν ἂν ποτε τὸ αἰσθητὸν ἢ νοητὸν ᾖ οἷον δεῖ, καὶ τὸ κρῖνον ἢ θεωροῦν, ἔσται ἐν τῇ ἐνεργείᾳ ἡ ἡδονή· ὁμοίων γὰρ ὄντων, καὶ πρὸς ἄλληλα τὸν αὐτὸν τρόπον ἐχόντων, τοῦ τε παθητικοῦ, καὶ τοῦ ποιητικοῦ, τὸ αὐτὸ πέφυκε γίνεσθαι. πῶς οὖν οὐδεὶς συνεχῶς ἥδεται; ἢ κάμνει; πάντα γὰρ τὰ ἀνθρώπεια ἀδυνατεῖ συνεχῶς ἐνεργεῖν. οὐ γί-
F νεται οὖν οὐδ' ἡδονή· ἕπεται γὰρ τῇ ἐνεργείᾳ·